δοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων, ὧν ἥκει ἡ ἡμέρα,
ἐν καιρῷ ἀδικίας πέρας. [35]ἀπόστρεφε, μὴ καταλύσῃς ἐν τῷ τόπῳ 35
τούτῳ, ᾧ γεγέννησαι· ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε [36]καὶ ἐκχεῶ 36
ἐπὶ σὲ ὀργήν μου, ἐν πυρὶ ὀργῆς μου ἐμφυσήσω ἐπὶ σὲ καὶ παρα-
δώσω σε εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων διαφθοράν.
[37]ἐν πυρὶ ἔσῃ κατάβρωμα, τὸ αἷμά σου ἔσται ἐν μέσῳ τῆς γῆς 37
σου· οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ κύριος λελάληκα.
[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ- 22
που, εἰ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων; καὶ παράδειξον αὐτῇ πάσας
τὰς ἀνομίας αὐτῆς [3]καὶ ἐρεῖς Τάδε λέγει κύριος κύριος Ὦ πόλις 3
ἐκχέουσα αἵματα ἐν μέσῳ αὐτῆς τοῦ ἐλθεῖν καιρὸν αὐτῆς καὶ ποι-
οῦσα ἐνθυμήματα καθ᾽ αὐτῆς τοῦ μιαίνειν αὐτήν, [4]ἐν τοῖς αἵμασιν 4
αὐτῶν, οἷς ἐξέχεας, παραπέπτωκας καὶ ἐν τοῖς ἐνθυμήμασίν σου,
οἷς ἐποίεις, ἐμιαίνου καὶ ἤγγισας τὰς ἡμέρας σου καὶ ἤγαγες και-
ρὸν ἐτῶν σου. διὰ τοῦτο δέδωκά σε εἰς ὄνειδος τοῖς ἔθνεσιν καὶ
εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις [5]ταῖς ἐγγιζούσαις πρὸς σὲ καὶ 5
ταῖς μακρὰν ἀπεχούσαις ἀπὸ σοῦ, καὶ ἐμπαίξονται ἐν σοί Ἀκάθαρ-
τος ἡ ὀνομαστὴ καὶ πολλὴ ἐν ταῖς ἀνομίαις. [6]ἰδοὺ οἱ ἀφηγούμενοι 6
οἴκου Ισραηλ ἕκαστος πρὸς τοὺς συγγενεῖς αὐτοῦ συνανεφύροντο
ἐν σοί, ὅπως ἐκχέωσιν αἷμα· [7]πατέρα καὶ μητέρα ἐκακολόγουν ἐν 7
σοὶ καὶ πρὸς τὸν προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί,
ὀρφανὸν καὶ χήραν κατεδυνάστευον ἐν σοί· [8]καὶ τὰ ἅγιά μου ἐξ- 8
ουδένουν καὶ τὰ σάββατά μου ἐβεβήλουν ἐν σοί. [9]ἄνδρες λησταὶ 9
ἐν σοί, ὅπως ἐκχέωσιν ἐν σοὶ αἷμα, καὶ ἐπὶ τῶν ὀρέων ἤσθοσαν
ἐν σοί, ἀνόσια ἐποίουν ἐν μέσῳ σου. [10]αἰσχύνην πατρὸς ἀπεκά- 10
λυψαν ἐν σοὶ καὶ ἐν ἀκαθαρσίαις ἀποκαθημένην ἐταπείνουν ἐν σοί·
[11]ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἠνομοῦσαν, καὶ ἕκαστος 11
τὴν νύμφην αὐτοῦ ἐμίαινεν ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν
αὐτοῦ θυγατέρα τοῦ πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί. [12]δῶρα ἐλαμ- 12
βάνοσαν ἐν σοί, ὅπως ἐκχέωσιν αἷμα, τόκον καὶ πλεονασμὸν ἐλαμ-
βάνοσαν ἐν σοί· καὶ συνετελέσω συντέλειαν κακίας σου τὴν ἐν
καταδυναστείᾳ, ἐμοῦ δὲ ἐπελάθου, λέγει κύριος. [13]ἐὰν δὲ πατάξω 13
χεῖρά μου πρὸς χεῖρά μου ἐφ᾽ οἷς συντετέλεσαι, οἷς ἐποίησας, καὶ
ἐπὶ τοῖς αἵμασίν σου τοῖς γεγενημένοις ἐν μέσῳ σου, [14]εἰ ὑπο- 14

34 ων > B† || 36 επι σε 1°] επι σοι A | διαφθορας B†
22 2 ει] ου A || 3 κυριος κυριος] + ο θεος A: cf. 14 6 | ελθειν] pr. εισ B*† | καθ αυτης] κατ αυτης A || 5 ακαθαρτος] pr. και βοησουσιν επι σοι(uel σε) *L* || 6 συνανεφυρ.] συνεφ. B*, ενεφ. B^c† || 7 προς τον > B*† | εν σοι ult. > B† || 9 λησται B†] + ησαν rel. (in *O* sub ※) | ησθοσαν B*Q^(†) (cf. Thack. p. 214 l. 19)] ησθιον AB^c || 10 αποκαθημενην] -νης A || 11 νυμφην] αδελφην A† | εμιαινον A || 12 εμου δε] σου οτι εμου A pau. | κυριος] + κυριος A: cf. 2 4 || 13 δε παταξω] δ(+ε V) επαξω BV† | προς χειρα μου > B V† = 𝔐